eul_wid: rrg-by

*Χρυσοποιὸς Α′* · Alchemist I

# Alchemical Treatise

*Χημικὸν Σύγγραμμα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

**PAPURVS LEIDENSIS Μολίβου κάθαρσις καὶ σκλήρωσις.**

1 Χωνεύσας αὐτὸν στυπτηρίαν σχιστὴν καὶ χάλκανθον λεῖα ποιήσας καὶ ἑνώσας ἐπίπασσε καὶ ἔσται σκληρός. Ἄλλη κασσιτέρου.

2 || Μόλιβον καὶ κασσίτερον λευκαίνει καὶ ἐκάθηρε πίσσα καὶ ἄσφαλτος, στερροποιεῖ δὲ στυπτηρία καὶ ἅλας καππαδοκικὸν καὶ μαγνησία ἐμ πασσόμενα. Κασσιτέρου κάθαρσις τοῦ βαλλομένου εἰς τὴν κρᾶσιν τοῦ ἀσήμου.

3 || Λα[βὼν] κασσίτερον καθαρὸν ἀπὸ πάντων χώ νευε καὶ ἔασον ψυγῆναι καὶ ἀλείψας ἔλαιον καὶ διεὶς πάλιν χώνευε. Εἶτα τρίψας ἔλαιον καὶ ἄσφαλτον καὶ ἅλας, ἄλειψον καὶ ἐκ τρίτου χώ νευε, καὶ ἐὰν χωνευθῇ ἀπόθου καθαρίως πλύν||ας· ἔσται γὰρ ὡς ἄργυρος σκληρός. Ὅταν δὲ ἀντὶ ἀργυρωμάτων ἐργάζεσθαι θέλῃς, ἵνα λάθῃ κ(αὶ) ἔχῃ τὴν τοῦ ἀργύρου σκληρίαν, πρόσμισγε τοῖς τέτρασιν μέρεσιν τοῦ ἀργύρου μέ(ρη) γ′, καὶ γενή σεται τὸ προκείμενον ὡς ἀργύρωμα. || Κασσιτέρου κάθαρσις.

4 Πίσσαν ὑγρὰν καὶ ἄσφαλτον ἓν καθ’ ἓν βαλὼν χώνευε καὶ κίνει. Οἱ δὲ πίσσης ξηρᾶς < κ′ ἀσφάλτου < ιβ′. Ἀσήμου ποίησις.

5 || Κασσιτέρου < ιβ′, ὑδραργύρου < δ′, γῆς Χίας < β′, χωνεύσας τὸν κασσίτερον ἐπέμβαλε τὴν γῆν τετριμμένην εἶτα τὴν ὑδράργ υρον, καὶ κίνει σιδήρῳ καὶ χρῶ. Ἀσήμου δίπλωσις.

6 || Ἡ δὲ δίπλωσις τοῦ ἀσήμου γίνεται οὕτως· τοῦ ἐξιωμένου χαλκοῦ < μ′, καὶ ἀσήμου < η′ καὶ κασσιτέρου βούλλης < μ′. Χωνεύεται δὲ πρῶτος ὁ χαλκός, καὶ μετὰ δύο πυρώσεις ὁ κα σσίτερος, εἶτα ὁ ἄσημος, εἶτα, ὅταν ἀμφότερα || μαλακ 〈ὰ〉 γένηται, ἀναχώνευε πολλάκις, καὶ κατάψυχε τῷ προειρημένῳ σκευάσματι· εἶτα πλατύνας ταῖς αὐταῖς οἰκονομίαις ἀν άσμηχε τῷ κουφολίθῳ. Καὶ τρίπλωσις γίνε ται ταῖς αὐταῖς οἰκονομίαις, καταμεριζομέν||αις ταῖς ὁλκαῖς ἴσως, ὡς προείρηται. || Ἀνέκλειπτος μᾶζα.

7 Ἡ δὲ ἀνέκλειπτος μᾶζα κατασκευάζεται οὕτως· πάλιν ταῖς αὐταῖς οἰκονομίαις ταῖς τῆς διπλώ σεως, ἐπὰν δὲ ἆραι θέλῃς ἀπὸ τῆς μάζης < η′, || ἀποκόψας ἀναχώνευσον τὰς ἴσας ἀσήμου < δ′ καὶ χώνευσον τρίς, καὶ πάλιν, καὶ εἶτα ψύχων, ἀποτίθου εἰς τὸ κουφόλιθο〈ν〉. Ἀσήμου ποίησις.

8 Λαβὼν κασσίτερον λεπτὸν καὶ μαλακὸν κάθα||ρον τετράκις, καὶ λαβὼν αὐτοῦ μέ(ρη) δ′ καὶ χαλκοῦ λευκοῦ καθαροῦ μέ(ρη) καὶ γ′, καὶ ἀσήμου μέ(ρος) α′, χώνευε. Καὶ ὅταν χωνευθῇ,

σμῆχε πλειστάκις καὶ σκεύαζε ὃ θέλεις, ἔσται πρῶτον ἄσημον, ὥστε καὶ τοὺς τεχ νίτας λαθεῖν. Ἀσήμου χυτοῦ ποίησις.

9 || Χαλκοῦ κυπρίου μν(ᾶ) < —, κασσιτέρου ἵμαντος μνᾶ α′, μαγνησίας < ςι′, ὑδραργύρου < η′, πώρου κ′. Χωνεύσας τὸν χαλκὸν ἐπέμβαλε τὸν κ 〈α〉 σσίτερον, μετὰ δὲ λείαν τὴν μαγνησίαν, εἶτα τὴν πῶρον, ὑστέραν τὴν ὑδράργυρον, καὶ κίνει σιδήρῳ, || καὶ ἀπόχεε εἰς τύπον. Ἀσήμου δίπλωσις.

10 Λαβὼν χαλκὸν κύπριον ἐξίωσον, καὶ ἐπίβαλλε ἁλὸς ἀμμωνιακοῦ τὰς ἴσας < δ′, στυπτηρίας < δ′, χωνεύσας μίσγε ἴσον ἄσημον. || Ἀσήμου ποίησις.

11 Μόλιβον καθάρισον πίσσῃ καὶ ἀσφάλτῳ ἐπιμελῶς, εἰ μὴ κασσίτερον, καὶ μίσγε καδμείαν, λιθάργυρον, ἴσον τῷ μολίβῳ καὶ κίνει ἕως καταμιγῇ καὶ σκληρύνῃ. Οὕτω χρῶ ὡς ἀσήμῳ φυσικῷ. || Ἀσήμου ποίησις.

12 Λαβὼν τὰ ἀποκόμματα τῶν πετάλων κατάβαψον ὄξει καὶ λευκῇ στυπτηρίᾳ σχιστῇ καὶ ἄφες βρέ χεσθαι ἡμέρας ζ′, καὶ τότε χώνευε τῷ τετάρτῳ χαλκοῦ γῆς χίας η′, καὶ σαμίας < η′ καὶ ἁλὸς καππ 〈α〉 || δοκικοῦ < α′, στυπτηρίας σχιστῆς < α′. Μίξας χώνευε, ἐπιβάλλων ἀτράμεντον. Ποίησις κράσεως.

13 Χαλκοῦ γαλατικοῦ < η′, κασσιτέρου ἱμάντος < ιβ′, μαγνησίας < ς′, ὑδραργύρου < ι′, ἀσήμου < ε′. Ποίησις || κραματίνου σκεύους· χαλκοῦ μν(ᾶ) α′, χωνεύσας ἐπέμ βαλε κασσιτέρου βούλλης μν(ᾶς) καὶ οὕτως ἐργάζου. Χρυσίου χρῶσις.

14 Χρυσίον χροΐσαι ὥστε γενέσθαι χρηστόν· μίσυ καὶ ἅλας καὶ ὄξος ἀπὸ καθάρσεως χρυσίου συγκεράσαι || πάντα καὶ ἐμβαλεῖν εἰς ἀ[γγεῖον] τὸ προγεγραμμένον χρυσίον εἰς τὰ φάρμακα, καὶ βαλὲ καὶ ἔα ἐπὶ χρόνον τινὰ καὶ ἄρας ἐκ τοῦ ἀγγείου διαθέρμαινε ἐπ’ ἀνθράκ ων, καὶ πάλιν ἔμβαλε αὐτὸ εἰς τὸ ἀγγεῖον οὗ ἐστιν τὸ φάρμακον τὸ προγεγραμμένον, πλεονάκις δὲ || τοῦτο ποίει, ἕως γένηται χρηστόν. Χρυσίου πλεονασμός.

15 Χρυσίον πλεῖον ποιῆσαι. Λαβὼν καδμίαν θρακικὴ(ν) πλακώδη μεῖξον ἢ γαλατικήν. Χρυσοῦ δόλος.

16 || Μίσυ καὶ σινωπίδος ἴσον ἴσῳ τῷ χρυσίῳ. Ἐπὴν βλη θῇ χρυσὸς εἰς κάμινον καὶ γένηται ἱλαρός, ἔμπα σσε ἐξ ἑκάστου, καὶ ἐξελὼν ἔα ψυγῆναι καὶ γίνεται ὁ χρυσὸς διπλοῦς. Ἀσήμου ποίησις.

17 || Κασσιτέρου μνᾶς δεκατόν, χαλκοῦ κυπρίου ἐκκαι δέκατον, μαγνησίας γῆς τριακοστοδεύτερον, ὑδραργύ ρου Σ β′. Χωνεύσας τὸν χαλκόν, πρῶτον βάλε τὸν κασσίτερον, εἶτα τὴν μαγνησίαν, εἶτα τὰ αὐτὰ χωνεύ σας ἐπίβαλλε ἀσήμου καλοῦ λευκοῦ τὸ ὄγδοον πρὸς || ἀνάλογον. Εἶθ’ ὅταν μιγῇ καὶ ἤδη πρὸς τῷ ψύχες θαι ᾖ, συγχωνεύειν τότε τὴν ὑδράργυρον ἐσχάτην. Ἄλλη.

18 Χαλκοῦ κυπρίου Σ δ′, γῆς 〈σ〉 αμίας Σ δ′, στυπτηρίας σχ ιστῆς Σ δ′, ἁλὸς τοῦ κοινοῦ Σ β′, ἀσήμου ἀδραμέντου Σ β′, ἐὰν δὲ κάλλιον ποιῆσαι θέλῃς, Σ δ′. Χωνεύσας τὸν χαλκὸν ἐπίπασσε τὴν σαμίαν καὶ τὴν στυπτη ρίαν τὴν σχιστὴν, συλλελεασμένα, καὶ κίνει ἕως μι γῇ καὶ τότε τὸν ἄσημον χωνεύσας κατάχεον ταῦ τα προκεχωνευμένον ` συμμίξας ἰουνιπηρίῳ ′ καὶ μιγῇ ἆρον, ὅταν δὲ μέλλῃ||ς ἐλαύνειν αὐτὸ πυρώσας αὐτὸ κατάσβεσον εἰς στυπ τηρίαν σχιστὴν καὶ ἅλας ἴσον ἴσῳ μεθ’ ὕδατος γλοιώδους, πάχος λεπτότερον, καὶ ἐὰν συντελεῖσθαι τὸ ἔργον, πάλιν κατάβαψον εἰς τὸ προκείμενον, πύ ρου δὲ ἵνα λευκότερον γένηται, τὸν δὲ χαλκὸν || ἔχε προκεκαθαρμένον· πυρώσας γὰρ αὐτὸν ἐν ἀρ χῇ ἀποψόφησον, ἕως ἂν ἀποβάλῃ τὴν λεπίδα κ(αὶ) καθαρὸς γένηται, καὶ τότε χρῶ ὡς προγέγραπται τὴν σαμίαν συγχωνεύων. Ἄλλη.

19

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λαβὲ στατῆρα πτολεμαϊκόν, ἔχουσι γὰρ τῇ κράσει || χαλκόν, καὶ κατάβαψον. Ἔστιν δὲ ἡ κρᾶσις τῆς κα ταβαφῆς, στυπτηρίας σχιστῆς, ἁλὸς κοινοῦ ἐν ὄξει βαφικῷ, γλοιοῦ πάχος. Καταβάψας καὶ ὅταν ἐκτροχισθῇ χωνευόμενον καὶ μιγῇ || εἰς τοῦτο πύρωσον, εἶτα κατάβαψον, εἶτα ἔλασον εἶτα πύρωσον. {Ἔστιν δὲ ἡ κρᾶσις τῆς καταβαφῆ 〈σ〉 στυπτηρίας σχι στῆς, ἁλὸς κοινοῦ ἐν ὄξει βαφικῷ γλοιοῦ πάχος. Καταβάψας εἰς τοῦτο, πύρωσον εἶτα κατάβαψον, || εἶτα ἔλασον, εἶτα πύρωσον,} ἕως τετράκις ἢ καὶ πλεονάκις καθ’ ἑκάστην πύρωσιν κατα βάπτων, γίνεται τοῦτο ἀδραμέντου κρεῖσσον, ᾧ δὲ πλεονάκις πυρῶν καταβάπτεις, τος αυτάκις κάλλιον γίνεται. || Ἀσήμου σκληροῦ ἴασις. [10]

20 Ὡς δεῖ τὸν σκληρὸν ἄσημον καὶ μέλανα ἁπαλὸν γενέσθαι καὶ ἔκλευκον. Λαβὼν κίκεων φύλλα βρ έξον εἰς ὕδωρ ἐφ’ ἡμέραν [ .. ] εἶτα βρέξον πρὸ τοῦ ς ε χωνεῦσαι εἰς τὸ ὕδωρ, καὶ ἐπιχώνευε δίς, καὶ || ἔκμαξον ἀφρονίτρῳ καὶ ἐμβαλὼν εἰς τὸ βάμμα στυπτηρίαν ἐπὶ τοῦ χωνεύματος, χρῶ. Κρατεῖ τὴν δύναμιν, ἐστὶν γὰρ καλή. Ἄλλη. [5]

21 Ἐπὶ παντὸς ἀσήμου σαπροῦ βοηθεία· λαβὼν ἄχυρα κ(αὶ) || βύνι καὶ ἄγριον πήγανον, βρέξας ὄξει ἐπίχει κ(αὶ) ἅλας, ἄνθρακας· ταῦτά τε εἰς τὴν κάμινον βαλέ, φύσα δὲ ἐπίπλεον καὶ ἔα ψυγῆναι. Χαλκοῦ λεύκωσις. [5]

22 Χαλκὸν λευκὸν ποιῆσαι, ὥστε μιγέσθαι ἀσήμῳ || ἴσον ἴσῳ, καὶ ἀνέγκλητον εἶναι. Λαβὼν χαλκὸν κύπριον χώνευσον βαλὼν εἰς τὴν μνᾶν σαν δαράχης τῆς σαπρᾶς τῆς σιδηριζούσης < β′, καὶ στυπτηρίας σχιστῆς < ε′ καὶ χώνευε. Τῇ δευτέρᾳ χωνεύσει βάλλεται κηροῦ πον||τικοῦ < δ′, εἰ μή, καὶ πυροῦται καὶ ῥήσσεται. Κασσιτέρου σκλήρωσις. [5]

23 Κασσίτερον σκληρὸν ποιῆσαι. Στυπτηρίαν σχιστὴν καὶ χάλκανθον ἐπίπασσε καθ’ ἕν. Ἐὰ(ν) δὲ προκαθάρῃς τὸν κασσίτερον ὡς δεῖ καὶ χρή||σῃ τοῖς προκειμένοις, ὥστε αὐτῶν πυρου μένων μὴ ῥεῖν, ἕξεις ἄσημον Αἰγύπτιον εἰς σκευῶν κατασκευήν. Κατάχρισις χρυσοῦ. [5]

24 Καταχριστὸν χρυσοῦ ἄλλη διακάθαρσις λαμ||πρότητος χρυσοῦ. Μίσυος μέ(ρη) δ′, στυπτηρίας μέ(ρη) δ′, ἁλὸς μέ(ρη) δ′, τρῖβε μεθ’ ὕδατος, καταχρίσας || τὸν χρυσὸν ἔμβαλε εἰς κάμινον ἐν κεραμέῳ ἀγγείῳ περιπεπηλομένῳ ἄχρι ἀναλωθῇ τὰ προειρημέν α φάρμακα, καὶ ἐξελὼν ἔκπλυνε ἐπιμελέστατα. || Ἀργύρου κάθαρσις. [5]

25 Πᾶσάν τις ἄργυρον καθαίρειν καὶ λαμπρύνειν. Λαβὼν μέ(ρος) α′ τοῦ ἀργύρου καὶ τὸ ἴσον μολίβου χαλά σας εἰς κάμινον τῆκε ἄχρι ἂν ὁ μόλιβος ἀναλωθῇ κ(αὶ) τοῦτο πολλάκις ἀεὶ ἄχρι λαμπρὸς γένηται. || Ἀργύρου χρῶσις. [5]

26 Τὰ χαλκᾶ ἀργυρᾶ ποιῆσαι· κασσιτέρου ἱμάντος < β′, ὑδραργύρου < δ′, γῆς χίας < β′, χώνευσον τὸν κ 〈α〉 σσί τερον, ἔμβαλλε τὴν γῆν τετριμμένην ἔπειτα τὴ(ν) ὑδράργυρον καὶ ἀνακίνει σιδήρῳ καὶ ἀνάπλασσε || σφαιρία. Χαλκοῦ χρυσοφανοῦς ποίησις. [5]

27 Κύμινον τρίψας καὶ παραχέας ὕδωρ καὶ συλλεάνας ἔασον ὑποστῆναι ἡμ(έρας) γ′, τῇ δὲ δ′ ἀναταράξας ἐπίχρι σον. Ἐὰν θέλῃς πρόσμισγε χρυσόκολλαν καὶ φανήσε ται χρυσός. Ἀσήμου χυτοῦ ποίησις. [5]

28 || Χαλκοῦ 〈κυ〉 πρίου μέ(ρος) α′, κασσιτέρου μέ(ρος) α′, μαγνησίας μέ(ρη) β′, πώρου ὠμοῦ λελειοτριβημένου μέ(ρος) < . Πρῶτον χω νεύεται ὁ χαλκός, εἶτα ὁ κασσίτερος, εἶτα ἡ μαγνη σία, εἶτα ἐπιβάλλεται λεῖος ὁ πῶρος καὶ κινεῖς σι δήρῳ καὶ ἀποδίδωσι τὸν χῶνον. || Ἀσήμου ποίησις. [5]

29 Κασσιτέρου ϰ ο α′, χαλκοῦ γαλατικοῦ ϰ ο < , προχώνευ ε τὸν χαλκὸν εἶτα τὸν κασσίτερον κινῶν ἅμα σιδήρῳ καὶ ἐπέμβαλε τὴν πίσσαν τὴν ξηρὰν ἕως κοπιάσῃ, εἶτα ἀπόχεε καὶ πάλιν χώνευε τῇ στυπτηρίᾳ χρώ-|| μενος τῇ σχιστῇ, ὡς καὶ τῇ πίσσῃ, καὶ τότε ἐπίχεε. Ἐὰν δὲ βούλῃ τὸν

κασσίτερον πρῶτον χωνεύειν, ῥίνημα τοῦ πρώτου προκειμένου χαλκοῦ καὶ τῇ αὐτῇ συσταθμίᾳ καὶ τῇ αὐτῇ ἀγωγῇ ἀκολούθει. Χρυσοκόλλου σκευασία.

30 || Τὸ δὲ χρυσόκολλον σκευάζεται οὕτως· χαλκοῦ κυπρί ου μέ(ρη) δʹ, ἀσήμου μέ(ρη) βʹ, χρυσίου μέ(ρος) αʹ. Χωνεύεται πρῶ τὸς ὁ χαλκὸς, εἶτα ὁ ἄσημος, εἶτα τὸ χρυσίον. Κασσίτερον γνῶναι εἰ δεδόλωται.

31 Χωνεύσας αὐτὸν ὑπόστρωσον χαρτὴν καὶ ἔγχεον. || Ἐὰν κατακάῃς, χαρτὴς μόλιβον ἔχει. Κολλῆς χρυσοχοϊκῆς ποίησις.

32 Ὡς δεῖ χρυσοχοϊκὴν κόλλαν ποιῆσαι εἰς χρυσίον. Χρυσίου μέ(ρη) βʹ, χαλκοῦ μέ(ρος) αʹ χώνευσον λεῖα· ὅταν δὲ θέ λῃς ἱλαρὸν γενέσθαι, συγχώνευσον ἀργύρου βραχύ. || Χρυσογραφία.

33 Χρυσᾶ γράμματα γράφειν. Λαβὼν ὑδράργυρον ἔκχε ον εἰς ἄγγος καθάρειον καὶ συνέμβαλε εἰς αὐτὸ χρυσοῦ(ν) πέταλον. Ὅταν δὲ δόξῃ συντετηκέναι τὸ χρυσίον εἰς τὴν ὑδράργυρον, κίνησον ὡς μάλιστα, συν||έμβαλε [...]κόμμιος μικρὸ` ν ὡς ἂν ʹ κέγχρον καὶ οὕτως ἐάσας καταστῆναι γράφ 〈ε〉 χρυσᾶ γράμματα. Ἄλλη.

34 Λιθαργύρου χρυσίτιδος μέ(ρος) αʹ, στυπτηρίας μέ(ρη) βʹ. Ἄσημον μέλανα ποιῆσαι ὡς ὀψιανόν.

35 || Ἀσήμου μέ(ρη) βʹ, μολίβου μέ(ρη) δʹ, ἐπιθεὶς ἐπ’ ὄστρακον καινὸν ἐπέμβαλε θεῖον ἄπυρον τριπλοῦν καὶ εἰς ενέγκας εἰς τὴν κάμινον, χώνευε καὶ ἐξενέ γκας ἔλαυνε καὶ ποίει ὃ θέλεις, ἐάν τε ἐλαστὸν ἐάν τε χυτὸν ζωδίον θέλῃς ποιῆσαι, καὶ τότε || ῥίνα καὶ κόλαπτε. Ἔστιν δὲ ἀνίωτον. Ἀσήμου ποίησις.

36 Κασσιτέρου χρηστοῦ μέ(ρος) αʹ χώνευσον καὶ προς έμβαλε πίσσης ξηρᾶς τὸ τρίτον μέρος τοῦ κασσι τέρου, καὶ ἀνακινήσας ἔα ἀφρίζειν τὴν πίσσαν || ὡς οὗ ἐκλείπῃ ἀποβαλλομένη, εἶτα ἐὰν ψυγῇ ὁ κα σσίτερος, πάλιν χώνευε καὶ προσέμβαλε εἰς < ιγʹ τοῦ κασσιτέρου ὑδραργύρου < αʹ καὶ ἀνακίνει καὶ ἔα ψυγῆναι καὶ ἐργάζου ὡς ἄσημον. Ὥστε φαίνεσθαι τὰ χαλκᾶ χρυσᾶ.

37 || Καὶ οὔτε τῇ πυρώσει οὔτε τῇ παρατρίψει τῇ πρὸς τὸν λίθον ἐλέγχεσθαι, ποιεῖν δὲ μάλιστα ἐπὶ τὸν δακτύλιον τὴν φαντασίαν. Εἶναι δὲ τὴν κατασκευὴν τοιάνδε· τρίβουσι χρυσὸν καὶ μόλιβον λεπίδα ὡς ἄλευρα, δύο μέρη τοῦ μολίβου || πρὸς ἕν, εἶτα μίξαντες τῷ κόμμιδι ἀναφυρῶ σιν καὶ μετὰ ταῦτα ἀλείφουσιν τὸν δακτύλιον, εἶτα πυροῦσιν. Τοῦτο δὲ ποιοῦσιν πλεονάκις ἕως ἀναλάβῃ τὴν χροιάν. Δυσέλεγκτον δ’ ὅτι τήν τε παράτριψιν χρυσίου ποιεῖ καὶ πυρούμενος || τὸν μὲν μόλιβον ἐντήκει, τὸν δὲ χρυσὸν οὔ. Χρυσογραφία.

38 Γράμματα χρυσᾶ· κρόκος, χελώνης ποταμίας χολή. Ἀσήμου ποίησις.

39 Λαβὼν κασσίτερον λευκὸν καὶ λεπτότατον κάθα||ρον τετράκις, εἶτα λαβὼν τούτου μέ(ρη) δʹ καὶ χαλκοῦ λευκοῦ καθαροῦ μέρος τέταρτον καὶ ἀσήμου μέρος χώνευε. Ὅταν δὲ χωνευθῇ, σμῆχε ἁλὶ ἐπὶ πλεῖστον καὶ κατασκεύαζε ὃ θέλεις, εἴτε ποτήρια εἴτε ὅσα || ἐὰν δόξῃ σοι. Ἔσται ὡς πρῶτον ἄσημον, ὥστε || καὶ τοὺς τεχνίτας λαθεῖν. Ἄλλη.

40 Ἀργύρου μέ(ρη) βʹ κα` ς ʹιτέρου κεκαθαρμένου μέ(ρη) γʹ χαλκ οῦ < —χώνευσον, εἶτ’ ἐξελὼν καὶ σμήξας παρατί θει ὡς πρῶτα ἀργυρώματα. || Χαλκοῦ χρίσις.

41 Ἐὰν θέλῃς χαλκὸν ἀργύρου χρῶμα ἔχειν, τὸν χαλκὸν καθάρας ἐπιμελῶς κατάχριε ὑδραργ ύρῳ καὶ ψιμυθίῳ, καὶ αὐτὴ δὲ ἡ ὑδράργυρος μόνη ἐπιχρισθεῖσα ποιεῖ. || Χρυσοῦ δοκιμασία.

42 Ἐὰν θέλῃς χρυσὸν καθᾶραι, ἀναχώνευσον ἢ πύρωσον, καὶ ἐὰν ᾖ καθαρὸς, ἐν τῷ αὐτῷ χρώ ματι μένει μετὰ τὴν πύρωσιν καὶ ὅμοιος τῷ νομίσματι καθαρός. Ἐὰν λευκότερος φαίνηται, || {ται} ἄργυρον ἔχει. Ἐὰν δὲ τραχύτερος καὶ σκλη ρότερος, χαλκὸν καὶ κασσίτερον, ἐάν τε μέλας μὲν μαλακὸς δέ, μόλιβον. Ἀργύρου δοκιμασία.

43

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸν ἄργυρον θέρμαινε ἢ χώνευε ὥσπερ τὸν χρυσὸν || καὶ ἐὰν μὲν ᾖ λευκὸς στίλβων, καθαρός ἐστιν καὶ δό λον οὐκ ἔχει. Ἐὰν δὲ μέλας φαίνῃ, μόλυβον ἔχει. Ἐὰν δὲ σκληρὸς φανῇ καὶ κιρρός, χαλκὸν ἔχει. Χρυσογραφία. [5]

44 Χρυσᾶ γράμματα γράφειν· κολλῇ χρυσοχοϊκῇ γρά||φε ὃ θέλεις σὺν ὄξει. Χαλκωμάτων σμῆξις.

45 Σεύτλια ἀναζέσας καλῶς σμῆχε τὰ χαλκώματα καὶ ἀργυρώματα. Ὕδατι ζέννυται τὰ σεύτλια. Χαλκὸς χρυσοφανής.

46 || Χαλκοῦ χροιὰν χρυσῷ ἐμφερῆ εἶναι· κύμινον τρίψας ἐν ὕδατι καὶ ἐάσας κατασταθῆναι εἰς γʹ ἡμ(έρας) ἐπιμελῶς, τῇ δὲ δʹ ἀναδεύσας δαψιλῶς ἐπί χριε καὶ ὃ ἐὰν βούλῃ ἐπίγραφε· ὅμοιον γὰρ εἶδος ἔχει τὸ ἐπιχρισθὲν ἢ γραφέν. || Ἀργυρωμάτων σμῆξις. [5]

47 Ἐρίῳ μηλιδέῳ τὸν ἀποβάπτων εἰς ἅλμην δριμεῖ αν σμῆχε καὶ σμήξας γλυκεῖ ὕδατι χρῶ. Ἀργύρου χρύσωσις.

48 Ἀργυροῦν ἢ χαλκοῦν σκεῦος ἄνευ πετάλων χρυ-|| σῶσαι· νίτρον πυρρὸν καὶ ἅλα συγχωνευόμενα φύ ρησον μεθ’ ὕδατος καὶ ἐπίχρισον καὶ γίνεται. Χρυσογραφία.

49 Ἀρσενικὸν τρίψας ὁμοῦ μετὰ κόμμεως κ(αὶ) ὕδατος ἀποσείρου δεύτερον, τὸ τρίτον γράφε. || Ἀργύρου χρύσωσις.

50 Μίσυ καὶ σανδαράκην μετὰ κινναβάρεως τρίψας χρίσον τὸ ἀργυροῦν. Χρυσογραφία.

51 Χρυσᾶ πέταλα ἀποξύρας λεάνας μετὰ κόμμεως ἐπίγραφε. Χρυσίου ὑγροῦ σκευασία.

52 || Χρυσίου πέταλα εἰς θυΐαν ἐμβαλὼν καὶ ὑδράρ γυρον τρῖβε ὁμοῦ καὶ οὕτως ἔσται. Χρυσίου χρῶσις.

53 Ὡς δεῖ ἄργυρον χρύσεον ποιῆσαι· κιννάβαρι μετὰ στυπτηρίας λέανον παραχέων ὄξος λευ||κὸν καὶ ποιήσας κηρωτῆς πάχος ἔκμασσε πλειστάκις καὶ ἔα ἐκνυκτερεῦσαι. Χρυσίου ποίησις. [5]

54 Ἀσήμου ς αʹ ἢ χαλκοῦ κυπρίου γʹ, χρυσίου ς δʹ συγχώνευσον ἅμα. || Ἄλλη.

55 Ἀργύρεον χρύσεον ποιῆσαι εἰς αἰῶνα μόνι μον. Λαβὼν ὑδρ 〈άρ〉 γυρον καὶ πέταλα χρύσεα {ποίησον κ.} ποίησον κηρῶδες καὶ λαβὼν ἀργύρεον || σκεῦος σμῆξον αὐτὸ στυπτηρίᾳ καὶ λαβὼν ἐκ τοῦ κηρώδους χρίε αὐτὸ λεαντηρίῳ καὶ ἔα αὐτὸ παγῆναι. Τοῦτο ποίει πεντάκις. Κράτει δὲ αὐτὸ λινῷ ῥάκει καθαρῷ ἵνα μὴ πιτυρίσῃ καὶ λαβὼν μαρίλια ποίησον τέ||φραν, λέαινε λεαντηρίῳ καὶ χρῶ ὡς σκεύει ν ομίμῳ. Πεπείραται. Χρυσογραφία. [5]

56 Ἀρσενικοῦ χρυσίζοντος < κʹ, κρυστάλλου ῥι νήματος Σ δʹ ἢ ᾠοῦ τοῦ λευκοῦ Σ βʹ, κόμμεως λευκοῦ Σ κʹ, κρόκου—, γράψας ξήραινε καὶ ὀ||δόντιζε. Ἀσήμου π[οίησι]ς.

57 Γίνεται καὶ ἄσημον δι’ αὐτοῦ τοῦ χαλκοῦ, μναῖ βʹ, κασσιτέρου βούλλης μνᾶ αʹ, προχω νεύσας τὸν χαλκὸν εἰς ἕτερον βάλε τὸν κα σσίτερον καὶ κουφολίθου τῆς λεγομένης κρ||ήτης τῇ μνᾷ ἡμιμναῖον, ἀναφύσα δὲ ἕως ἅμα ἀναχωνευθῇ τε ἄργυρος καὶ ἡ κρήτα καὶ μετὰ τὸ σκορπισθῆναι καὶ μόνον τὸν ἄρ γυρον καταλειφθῆναι τότε καταψύξας χρῶ ὡς ἀσήμῳ τῆς ἀληθείας διαφορωτέρῳ, νό||ος δὲ χρία[ . ]. Ἄλλη. [5]

58 Ὁ δὲ ἀνέκλειπτος ἄσημος οὕτως σκευάζε ται· ἀσήμου καλοῦ στατῆρα καὶ πρόσβαλε || ἐκ τοῦ ἐξιωμένου χαλκοῦ Σ βʹ, ἀναχώνευε βʹ ἢ γʹ. Κασσιτέρου λεύκωσις.

59 || Κασσίτερον λευκὸν ποιῆσαι· στυπτηρίαν καὶ νίτρον πυρώσας ὁμοῦ χώνευε. Ἀσήμου γραφή.

60 Χάλκανθον, ἰὸν, θεῖον, ὄξει λεάνας ἐπίγρα φε πυκνῶς. Χρυσογραφία.

61 || Ἄνθος κνήκου, κόμμι λευκόν, ᾠοῦ τὸ λευκὸν κεράσας εἰς κογχίον χολῇ χελώνης μίσγε πρὸς ὄφθαλμον, καθάπερ ἐπὶ τῶν χρωμάτω(ν) χρῶ. Ποιεῖ δὲ καὶ ἡ μοσχεία χολὴ κατάπικ ρος τῇ χρόᾳ. Ἀσήμου δοκιμασία. [5]

62

Eulogikon public reading copy · View original HTML at eulogikon.org

|| Ἄσημον ἐπιγνῶναι εἰ δόλον ἔχει. Κατάθου εἰς ἅλμην θερμ[ή]ν. Ἐὰν δόλον ἔχῃ, μέλαν γίνεται. Κασσιτέρου σμῆξις.

63 Γύψον καταθέμενος εἰς ῥάκος ἀπόσμηχε. Ἀργύρου σμῆξις.

64 Στυπτηρίᾳ ὑγρᾷ χρῶ. || Ἀσήμου καταβαφή.

65 Κινναβάρεως μέ(ρος) α′, στυπτηρίας σχιστῆς μέρος α′, κιμωλίας γῆς μέ(ρος) α′, θαλάσσῃ ἀπόδευσον καὶ χρῶ. Χαλκοῦ μάλαξις.

66 Πυρώσας ἐντίθει εἰς κόπρον ὀρνίθειον καὶ ὅταν || ψυγῇ ἔλαυνε. Χρυσοῦ καταβαφή.

67 Μίσυος ὀπτοῦ μέ(ρη) γ′, στυπτηρίας σχιστῆς, ἐλυδρίου ἀνὰ μέ(ρος) α′. Ταῦτα τρίψας μέλιτος πά χος σὺν οὔρῳ παιδίου ἀφθόρου καὶ χρίων τὸ σκεῦος πύρου καὶ 〈κα〉 τάβαπτε εἰς ὕδωρ ψυχρόν. || Χρυσογραφία.

68 Λαβὼν τετάρτην χρυσοῦ δοκίμου χώνευσον εἰς χῶνον χρυσοχοϊκόν. Ὅταν δὲ χωνευθῇ, [προσ]δὸς μολίβου κεράτιον, ἐπὰν δὲ συμμιγῇ ἄρας ψύξον καὶ λαβὼν θυΐαν βασανίτου λίθου || ὁμοίως βάλε τὸ κεχωνευμένον καὶ προσδὸς νίτρου κεράτιον α′ καὶ συλλέανον ἐπιμελῶς ὄξει δριμεῖ ὡς κολλούριον ἰατρικὸν ἐπὶ ἡμ(έρας) γ′. Ἔπειτα, ὅταν λεανθῇ, σύμμισγε στυπτηρίας σχιστῆς κεράτιον α′ καὶ γράψας ὀδόντιζε. || Χρυσογραφία.

69 Χρυσ 〈ᾶ〉 πέταλα ἐλαστὰ μετὰ ὑδραργύρου τρῖβε εἰς θυΐαν καὶ οὕτως χρῶ γράφων ὡς μέλανι. Ἄλλη.

70 Θείου ἀπύρου λί(τρα) στυπτηρίας σχιστῆς ⸓ κόμμεως ⸓ βρέξας τὸ κόμμι ὕδατι. || Ἄλλη.

71 Θείου ἀπύρου λί(τρα), στ(υπτηρίας), σιδίου ξηροῦ τὸ ἐντός, || καὶ τρίψας τὸ [σ]ίδιον καὶ τὸ θεῖον καὶ τὴν στυπ τηρίαν λείαν εὖ μάλα μείξας ἐπιμελῶς τρῖβε καὶ χρῶ ὡς μέλανι γραφικῷ ἀνίων οἴνῳ ` ἀ ʹθαλάσς σῳ. Γράφε εἰς βίβλια καὶ διφθέρας. || Ἄλλη.

72 Χρυσογραφία χωρὶς χρυσοῦ· ἐλυδρίου μέ(ρος) α′, ῥητίνης καθαρᾶς μέ(ρος) α′, ἀρσενικοῦ χρυσίζοντος μέ(ρος) α′ ὅ ἐστιν σχιστόν, κόμμεως καθαροῦ, χολῆς χελώνης μέ(ρος) α′, ὠῶν τοῦ ὑγροῦ μέ(ρη) ε′, ἤτω δὲ τῶν ξηρῶν πάντων || ἡ ὁλκὴ Σ κ′, εἶτα ἐπέμβαλε τούτοις κρόκου κιλι κίου Σ δ′. Ποίει δὲ οὐ μόνον ἐπὶ χάρτου ἢ διφθέρας, ἀλλὰ καὶ ἐπὶ μαρμάρου ἐστιλβωμένου καὶ ἐάν τι ἄλλο καλὸν θέλῃς ὑποζωγραφῆσαι καὶ ποιῆσαι χρυσοειδές. Χρύσωσις.

73 || Χρύσωσις ὁμοίως ποιοῦσα· ἀρσενικοῦ σχιστοῦ {σχιστοῦ} χαλκάνθου, σανδαράκης χρυσίτι δος, ὑδραργύρου, τραγακάνθης, ἄρου τὸ ἐντός, ἴσα συλλειώσας χολῇ αἰγείᾳ. Τοῖς χαλκοῖς ἐκ πυ ρὸς καὶ ἀργυροῖς καὶ ταῖς εἰκόσι καὶ ἀσπιδίοις ποί||ει τόδε. Τὸ δὲ χαλκοῦν μὴ ἐχέτω δάσος. Ἄλλη.

74 Μίσυος μεταλλικοῦ Σ γ′, στυπτηρίας μεταλλ 〈ι〉 κῆς Σ γ′, ἐλυδρίου Σ α′, παράχεε οὖρον ἀφθόρου παιδὸς καὶ τρῖβε ἕως γένηται γλοιῶδες καὶ || κατάβαπτε. Ἄλλη.

75 Λαβὼν κύμινον καὶ λειώσας ἔασον εἰς {ὕδορ} ὕδωρ ἡμ(έρας) γ′ βρέχεσθαι, τῇ δὲ δ′ ἀνασπάσας κα τάχριε τὰ χαλκᾶ ἢ ὃ ἂν βούλῃ. Ἔστω δὲ πεπωμα σμένον τὰς γ′ ἡμέρας. || Χρυσογραφία.

76 Πέταλα χρυσίου τρίψας κόμμει ἀποξηράνας χρῶ ὡς μέλανι γραφικῷ. Ἀργυρογραφία.

77 Ἀργυρᾶ γράμματα γράψαι· λιθαργύρου Σ δ′ μετὰ κόπρου περιστερᾶς καὶ ὄξους λεάνας, γράφε ἐν || γραφίῳ πεπυρομένῳ. Ἀσήμου καταβαφή.

78 Κινναβάρεως, κιμωλίας, στυπτηρίας ὑγρ ᾶς ἴσα ἄνες ὕδατι θαλασσίῳ καὶ πύρου καὶ κατάβαπτε πλειστάκις. || Ἀργύρου χρῶσις.

79 Ὥστε μηδὲ ἐκμάσσεσθαι εἰ μὴ πυρί. {χρυσο} || Χρυσόκολλαν καὶ ψιμύθιον καὶ γῆν χίαν καὶ ὑδράργυρον συλλειώσας παράσταζε μέλι καὶ προνιτρώσας τὰ σκεύη κατάχριε. || Κασσιτέρου σκληρασία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

80 Χωνεύων αὐτὸν στυπτηρίαν σχιστὴν καὶ χάλκανθον μείξας καὶ ἑνώσας λεῖά τε ποιής ας ἐπίπασσε καὶ ἔσται σκληρός. Ἀσήμου ποίησις.

81 || Κασσιτέρου χρηστοῦ μν(ᾶν) αʹ, πίσσης ξηρᾶς Σ ιγʹ, ἀσφάλτου Σ ηʹ εἰς χύτραν καινὴν περιπηλώς ας χώνευε, εἶτα προψύξας πρόσμισγε χαλ κοῦ τροχικοῦ Σ κʹ καὶ ἀσήμου πρώτου Σ γʹ καὶ μαγνησίας λείας Σ ιβʹ. Χωνεύσας ποίει ὃ θέλεις. || Ἀσήμου ποίησις Αἰγυπτίου. [5]

82 Ὡς Φιμήνας ἐποίει ὁ Σαΐτης. Λαβὼν χαλκὸν κύπριον τὸν ἀνείμενον ἐκκάθαρον ὄξει κ(αὶ) ἁλὶ καὶ στυπτηρίᾳ, εἶτα ἐκκαθάρας χώνευε ἐπιβαλὼν ταῖς {ταῖς} Σ κʹ ψιμυθίου ἀδόλου || Σ γʹ καὶ λιθαργύρου χρυσίζοντος Σ βʹ. Ἔσται λε υκὸν. Εἶτα ἐπίβαλλε ἀσήμου ἁπαλωτάτου καὶ ἀμέμπτου Σ βʹ. Δείξει σοι αὐτό· ἔπεχε χωνεύω` ν ʹ μὴ ὑποστῇ. Οὐκ ἐστὶν ἰδιώτου ἀλλὰ ἐμπείρου καὶ βήσεται καλῶς. || Ἄλλη. [5]

83 Ἀσήμου ποίησις ἀληθῶς γινομένη πρὸς ἀληθεία(ν) κρείσσων ἀσήμου· λαβὼν ὀρείχαλκον ὅσον ὁλκὴν αʹ, ἔσβαλε εἰς χῶνον ἕως χυθῇ καὶ πρόσβαλε ἁλὸς ἀμμωνιακοῦ ἢ καππαδοκικοῦ < δʹ καὶ ἐπιχώνε||υσον, καὶ προσδὸς στυπτηρίας σχιστῆς ὁλκῆς ὅσον κυάμου Αἰγυπτίου καὶ ἐπιχώνευσον, καὶ προσδὸς ` ς ʹανδράκης μὴ τῆς χρυσιζούσης ἀλλὰ τῆς λευκανθιζούσης τῆς σαπρᾶς < αʹ, εἶτα μετα κένου εἰς ἕτερον χῶνον προκεχρισμένον || γῇ χίᾳ, εἶτα χωνεύσας προσδίδου τὸ τρίτον μέρος ἀμώμου καὶ χρῶ. Ἄλλη. [10]

84 Λαβὼν κασσιτέρου < ιβʹ, ὑδραργύρου < δʹ, γῆ ς χίας < βʹ, χώνευε τὸν κασσίτερον, ἔμβαλε τὴν γῆν λελειωμένην, ἔπειτα τὴν ὑδράργυρον, || κίνει σιδήρῳ, ἀνάπλασσε σφαιρία. Χρυσίου δίπλωσις. [5]

85 Βαρύτερον ἐργάζεσθαι τὸν χρυσὸν τῆς τοῦ χ[ρυς οῦ] ὁλκῆς. Καδμίας τὸ τέ ⟦ ρ ⟧ ταρτον συγχώνευε καὶ βαρύτερος μὲν σκληρότερος δὲ ἀποβήσεται. || Ἄλλη.

86 Δολοῦται χρυσὸς εἰς αὔξησιν μισύει καὶ γῇ σινωπίδι ἰσοστάσιος, πρῶτος ἐμβαλλόμενος εἰς τὴν κάμινον καὶ αὐτῷ γενομένῳ κατὰ τὴν χώνην ἱλαρῶς ἐπεμβάλλεται ἑκάστου πρὸς λόγον ὥστε διπλασιοῦται. || Ἄλλη. [5]

87 Ὕδατος θείου εὕρεσις· ἀσβέστου δραχμὴν μίαν, θείου τὸ ἴσον προλελειωμένον συνθεὶς ἐν ἀγγείῳ ἔχε ὄξος δριμὺ ἢ οὔρου ἀφθόρου. Ὑπόκαιε ἕως τὸ ὑγρὸν τὸ ἐπιπεμ φθὲν ὡς αἷμα φανῇ, ὅπερ ἀποσειρώσας διὰ τὴν || τρυγίαν καθαρίως χρῶ. Ὁ ἄσημος οὕτως ἀραιοῦται. [5]

88 Πεταλωθεὶς καὶ χριόμενος ὑδραργύρῳ προκις ηρισθέντος τοῦ πετάλου καὶ ἐπιπάσσεται ὁ πυρίτης οἰκονομηθεὶς οὕτως καὶ τίθεται ἐπὶ || ἀνθράκων ὡς ἀναξηρανθῇ καὶ θεωρισθῇ χρ όαν τοῦ πετάλου ἀλλοιωθείς· ἀναφεύγει γὰρ ἡ ὑδράργυρος καὶ ἀραιοῦται τὸ πέταλον καὶ μίσγε ται τῇ χωνίᾳ χρυσοῦ μέ(ρος) αʹ, ἀργύρου μέ(ρη) δʹ, καὶ μιγέντων αὐτῶν ἐπίβαλλε εἰς τοῦ ἀγγείου τὸ ἀρσενικὸν χρυσοῦν, χωρὶ||ς πυρίτου, ἁλὸς ἀμμωνιακοῦ, χαλκίτεως, κυάνου καὶ λειοτριβεῖς ὕδατος θείου, ὀπτᾷς, ἐπιπάσσεις μετὰ τὴν ὑδράργυρον. Κάτοχος ἀγχούσης. [10]

89 Οὖρον προβάτειον ἢ κόμ μαρι ἢ ὑοσκυάμους ὁμοιώ` ς ʹ καὶ τόπῳ νεʹ. || Ἄνεσις ἀγχούσης.

90 Ἀνίεται ἡ ἄγχουσα στροβιλίοις καὶ τοῖς ἔντος τῶν περ ⟦ . ⟧ σικῶν καὶ ἀνδράχνῃ καὶ χυλῷ σευτλίου καὶ φαί κλῃ καὶ οὔρῳ καμήλου καὶ τῷ ἐντὸς τῶν κιτρίων. Κάτοχος ἀνχούσης.

91 || Κοτυληδόνα καὶ στυπτηρίαν ἐξ ἴσου μίξας λειοτρίβει καὶ ἐπίβαλε τὴν ἄγχουσαν. Φάρμακα στυπτικά.

92 Μελαντηρία, χάλκανθος κεκαυμένος, στυπτηρία, χαλ κῖτις, κιννάβαρι, ἄσβεστος, σίδιον ῥοᾶς, ἀκάνθης κερά|| τια, οὖρον σὺν ἀλοῇ, ταῦτα ὡς πρὸς βαφάς. Πορ(φύρας) ποίησις.

93 Λίθον φρύγιον κόψας λεπτὸν ζέσας καὶ χαλάσας τὸ ἔριον ἄφες ἕως ψυγῇ. Ἔπειτα βαλὼν{ς} εἰς ἄγγος φύκο υς μν(ᾶν) αʹ ζέσον καὶ ἐπέμβαλλε || {φύκους μν(ᾶν) αʹ ζέσον καὶ ἐπέμβαλλε} τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔριον καὶ ἐάσας ψυγῆναι κλύζε θαλάσσῃ, ἤκουσα δὲ πρόκλυσις δέ, καὶ ὁ φρύγιος πρὸ τοῦ κοπῆναι ὀπτᾶται μέχρι οὗ πορφυροῦς γένηται. Πορφ(ύρας) βαφή.

94 || Ἄσβεστον μεθ’ ὕδατος βρέξον καὶ ἄφες καταστῆ ναι νύ(κτα) α′, καὶ ἀποσιρώσας κάθες τὸ ἔριον εἰς τὸ ὑγρόν || {ὑγρὸν} ἡμ(έραν) α′ καὶ ἄρας ξήρανον, καὶ ἄγχουσαν βρέξας ὄξει ζέσον καὶ ἐπίβαλε ἐκεῖ τὸ ἔριον καὶ ἀναβήσεταί σοι κογχυλιωτὸν καὶ διὰ ὕδατος δὲ καὶ νίτρου ζες||θεῖσα ἀνίησι χρῶμα κογχύλιον. Εἶτα ξηράνας αὐτὸ ἐπίβαπτε τρόπῳ τῷδε· φῦκος ὕδατι ζέσον καὶ ὅτα(ν) ἐξεράσῃ ἐπίβαλλε μικρὸν χάλκανθον πρὸς ὄφθαλ μον ἵνα πορφυροῦν γένηται καὶ τότε χάλα τὸ ἔρι ον καὶ γίνεται. Ἐὰν δὲ περισσότερον βάλῃς χαλ||κάνθιον, μελάντερον γίνεται. Ἄλλη.

95 Κάρυα διάτριψον καὶ μετ’ αὐτῶν ἄγχουσαν καλ ήν, εἶθ’ ὅταν τοῦτο ποιήσῃς, ὄξος ἐπίβαλλε δριμὺ καὶ πάλιν τρῖβε βαλὼν ἐκεῖ σίδιον καὶ ἔασον ἡμ(έρας) γ′ καὶ || μετὰ τὰ γ′ κάθες ἐκεῖ τὸ ἔριον καὶ ἔσται ψυχρο βαφής. Λέγεται δὲ ὅτι παιδερώτινον γίνε ται ἐμπορφυρίζον καὶ μετὰ νίτρου βερνικαρί ου βραχὺ ἀντὶ τοῦ καρύου τὸ αὐτὸ ποιεῖ. Ἄλλο.

96 || Στρούθισον τὸ ἔριον καὶ ἔχε ἐν ἑτοίμῳ στυπτηρ ίαν σχιστὴν καὶ κηκίδος τὸ ἔσω. Τρίψας βάλε μετὰ τῆς στυπτηρίας εἰς χυτρίδιον καὶ ἐπιβα λὼν ἔασον ὥρας ὀλίγας καὶ ἄρας ἔασον ξηρανθῆ ναι. Προγεγονέτω δέ σοι ἡ ἀγωγὴ αὕτη· φαίκλην || τρίψας βαλὼν εἰς ἀγγεῖον ἐπίβαλε ὕδωρ καὶ ταρ άξας ἔα καταστῆναι, εἶτα ἀποσιρώσας τὸ κα θαρὸν ὕδωρ εἰς ἕτερον ἀγγεῖον ἔχε ἐν ἑτοίμῳ. ⟦ ολβον ⟧ Λαβὼν δὲ ἄγχουσαν καὶ βαλὼν εἰς ἀγγεῖον τῷ ὕδατι τῆς φαίκλης μεῖξον ἕως ἐπιμελῶς ἐμ||παχυνθῇ καὶ γένηται ὡς ἀμμῶδες, τότε ἐπί βαλε εἰς ἀγγεῖον ὑπὸ χεῖρα τρίβων ἐκ τοῦ προ κειμένου ὕδατος τοῦ τῆς ἀγχούσης. Εἶθ’ ὅταν γένηται ὡς γλοιῶδες, βαλὼν αὐτὸ εἰς χυτρίδι ον προσεπίβαλε τὸ λοιπὸν ὕδωρ τῆς ἀγχούσης || καὶ ἔα ἕως αὐτὸ χλιαρὸν ποιήσῃς, καὶ τότε χαλά σας τὸ ἔριον ἄφες ὡς ὥρας ὀλίγας καὶ εὑρήσεις πόρφυραν μένουσαν. Ἄλλο.

97 Λαβὼν ἄγχουσαν λαοδικίνην λέπισον καὶ λαβὼν || τὰ λεπίσματα εἰς θυΐαν τρῖβε λεῖα ὡς στίμι καὶ ἐπίβα λων ὑδαρέστερον ὑδρόμελι πάλιν τρῖβε, εἶτα τετρι μμένον αὐτὸ μετάβαλε εἰς ἀγγεῖον καὶ ζέσον. Ὅτα ν δὲ εἰδῇς ὅτι κεχλίανται κάθες τὸ ἔριον καὶ ἔ α ἐγκοιτασθῆναι. Ἔστω δὲ τὸ ἔριον ἐστρουθιμένον || καὶ ἐστυμμένον, καὶ τότε λαβὼν αὐτὸ κάθες εἰς ὕδω ρ ἀσβέστου καὶ ἔασον συμπιεῖν, [εἶ]τα ἄρας ἀπόπλυ ||{ἀποπλῦ}νον θαλάσσῃ μὴ λίαν καὶ ψῦξον καὶ ἔνικμο(ν) πάλιν καθὲς εἰς τὴν ἄγχουσαν καὶ ἔα ἐγκοιτασθῆναι. Ἄλλο.

98 || Λαβὼν τὸ αἷμα τὸ ἄνωθεν ἐκ τῆς ἀγχούσης καὶ κη κίδα ὀμφακίνην μίαν καύσας ὀπτανίῳ καὶ τρίψ ας μετὰ μικροῦ χαλκάνθου καὶ μείξας τῷ αἵματι ζέσας βάπτε πόρφυραν. Ἀντιγλαυκισμός.

99 || Ἀντὶ τοῦ γλαυκίσαι λαβὼν σκωρίαν σιδηρίου κόψο 〈ν〉 ἐπιμελῶς ἕως γένηται ὡς σμῆγμα καὶ ζέσον με τ’ ὄξους ἕως σκληρὸν γένηται καὶ χάλα τὸ ἔριον προ στρουθιμένον καὶ προστυμμένον, καὶ εὑρήσεις αὐτὸ πορφυρίζον, καὶ οὕτως βάπτε χρώμενος αἷς || ἔχεις βαφαῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org